eul_wid: hps-al

*Μένανδρος ὁ Ἀθηναῖος* · Menander of Athens

# Girl with Her Hair Cut Short

*Ἡ Κομψικεκαρμένη*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Κωμῳδία Ἀττική* Attic Comedy
**Domain:** *Κωμῳδία* Comedy
**Format:** *Ἔμμετρος* Verse

121 (ΑΓΝΟΙΑ)
121 ...
121.1 [ ] προθυμηθεῖσα θῆλυ, τὸ δ’ ἕτερον
121.2 γυναικὶ] δοῦναι πλουσίαι τὴν οἰκίαν
121.3 ταύτην] κατοικούσηι, δεομένηι παιδίου.
121.4 γέγον]ε δὲ τα[ῦτ’. ἐγγενο]μένων δ’ ἐτῶν τινων
125.1 καὶ τ]οῦ πολέμου καὶ τῶν Κορινθιακῶν κακῶν
125.2 αὐξανομένων ἡ γραῦς ἀπορουμένη σφόδρα,
125.3 τεθραμμένης τῆς παιδός, ἣν νῦν εἴδετε
125.4 ὑμεῖς, ἐραστοῦ γενομένου τε τοῦ σφοδροῦ
125.5 τούτου νεανίσκου γένει Κορινθίου
130.1 ὄντος, δίδωσι τὴν κόρην ὡς θυγατέρα
130.2 αὑτῆς ἔχειν· ἤδη δ’ ἀπειρηκυῖα καὶ
130.3 προορωμένη τοῦ ζῆν καταστροφήν τινα
130.4 αὑτῆι παροῦσαν οὐκ ἔκρυψε τὴν τύχην,
130.5 λέγει δὲ πρὸς τὴν μείραχ’ ὡς ἀνείλετο
135.1 αὐτήν, ἐν οἷς τε σπαργάνοις δίδως’ ἅμα,
135.2 τὸν ἀγνοούμενόν τ’ ἀδελφὸν τῆι φύσει
135.3 φράζει, προνοουμένη τι τῶν ἀνθρωπίνων,
135.4 εἴ ποτε δεηθείη βοηθείας τινός,
135.5 ὁρῶσα τοῦτον ὄντ’ ἀναγκαῖον μόνον
140.1 αὐτῆι, φυλακήν τε λαμβάνουσα μή ποτε
140.2 δι’ ἐμέ τι τὴν Ἄγνοιαν αὐτοῖς συμπέσηι
140.3 ἀκούσιον, πλουτοῦντα καὶ μεθύοντ’ ἀεὶ
140.4 ὁρῶς’ ἐκεῖνον, εὐπρεπῆ δὲ καὶ νέαν

ταύτην, βέβαιον δ’ οὐθὲν ὧι κατελείπετο.
αὕτη μὲν οὖν ἀπέθανεν, ὁ δὲ τὴν οἰκίαν
ἐπρίατο ταύτην ὁ στρατιώτης οὐ πάλαι·
ἐν γειτόνων δ’ οἰκοῦσα τἀδελφοῦ τὸ μὲν
πρᾶγμ’ οὐ μεμήνυκ’ οὐδ’ ἐκεῖνον βούλεται
εἶναι δοκοῦντα λαμπρὸν εἰς μεταλλαγὴν ἀγαγεῖν, ὄνασθαι δ’ ὧν δέδωκεν ἡ τύχη.
ἀπὸ ταὐτομάτου δ’ ὀφθεῖς’ ὑπ’ αὐτοῦ θρασυτέρου
ὥσπερ προείρηκ’ ὄντος ἐπιμελῶς τ’ ἀεὶ
φοιτῶντος ἐπὶ τὴν οἰκίαν, ἔτυχ’ ἑσπέρας
πέμπουσά ποι θεράπαιναν, ὡς δ’ ἐπὶ ταῖς θύραις
αὐτὴν γενομένην εἶδεν, εὐθὺ προσδραμὼν
ἐφίλει, περιέβαλλ’, ἡ δὲ τῶι προειδέναι
ἀδελφὸν ὄντ’ οὐκ ἔφυγε· προσιὼν δ’ [ἅτερος
ὁρᾶι. τὰ λοιπὰ δ’ αὐτὸς [εἴρηχ]’, ὃν τρ[όπον
ὁ μὲν ᾤχετ’, εἰπὼν ὅτι κατὰ σχολὴν ἰδεῖν
αὐτήν τι βούλεθ’, ἡ δ’ ἐδάκρυ’ ἑστῶσα καὶ
ὠδύρεθ’ ὅτι ταῦτ’ οὐκ ἐλευθέρως ποεῖν
ἔξεστιν αὐτῆι. πάντα δ’ ἐξεκάετο
ταῦθ’ ἕνεκα τοῦ μέλλοντος, εἰς ὀργήν θ’ ἵνα
οὗτος ἀφίκητ’—ἐγὼ γὰρ ἦγον οὐ φύσει
τοιοῦτον ὄντα τοῦτον, ἀρχὴν δ’ ἵνα λάβηι
μηνύσεως τὰ λοιπά—τούς θ’ αὑτῶν ποτε
εὕροιεν· ὥστ’ εἰ τοῦτ’ ἐδυσχέρανέ τις
ἀτιμίαν τ’ ἐνόμισε, μεταθέσθω πάλιν.
διὰ γὰρ θεοῦ καὶ τὸ κακὸν εἰς ἀγαθὸν ῥέπει
γινόμενον. ἔρρωσθ’ εὐμενεῖς τε γενόμενοι
ἡμῖν, θεαταί, καὶ τὰ λοιπὰ σώιζετε.
(ΣΩΣΙΑΣ)
ὁ σοβαρὸς ἡμῖν ἀρτίως καὶ πολεμικός, ὁ τὰς γυναῖκας οὐκ ἐῶν ἔχειν τρίχας,
κλάει κατακλινείς. κατέλιπον ποούμενον
ἄριστον αὐτοῖς ἄρτι, καὶ συνηγμένοι
εἰς ταὐτόν εἰσιν οἱ συνήθεις, τοῦ φέρειν
αὐτὸν τὸ πρᾶγμα ῥᾶιον. οὐκ ἔχων δ’ ὅπως
τἀνταῦθ’ ἀκούσηι γινόμεν’ ἐκπέπομφέ με
ἱμάτιον οἴσοντ’ ἐξεπίτηδες, οὐδὲ ἓν
δεόμενος ἄλλ’ ἢ περιπατεῖν με βούλεται.
(ΔΩΡΙΣ)
ἐγὼ προελθοῦς’ ὄψομαι, κεκτημένη.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

(Σω) ἡ Δωρίς. οἷα γέγονεν, ὡς δ’ ἐρρωμένη.
181.3 ζῶσιν τρόπον τιν’, ὡς ἐμοὶ καταφαίνεται,
181.4 αὗται. πορεύσομαι δέ.
184 (Δω) κόψω τὴν θύραν·
185.1 οὐδεὶς γὰρ αὐτῶν ἐστιν ἔξω. δυστυχής,
185.2 ἥτις στρατιώτην ἔλαβεν ἄνδρα. παράνομοι
185.3 ἅπαντες, οὐδὲν πιστόν. ὦ κεκτημένη,
185.4 ὡς ἄδικα πάσχεις. παῖδες. εὐφρανθήσεται
185.5 κλάουσαν αὐτὴν πυθόμενος νῦν· τοῦτο γὰρ
190.1 ἐβούλετ’ αὐτός. παιδίον, κέλευέ μοι
190.2 (desunt uersus fere lxx)
261.1 (Δα) παῖδες· μεθύοντα μειράκια προσέρχεται
261.2 πάμπολλ’. ἐπαινῶ διαφόρως κεκτημένην·
261.3 εἴσω πρὸς ἡμᾶς εἰσάγει τὴν μείρακα.
261.4 τοῦτ’ ἔστι μήτηρ. ὁ τρόφιμος ζητητέος·
265.1 ἥκειν γὰρ αὐτὸν τὴν ταχίστην ἐνθάδε
265.2 εὔκαιρον εἶναι φαίνεθ’, ὡς ἐμοὶ δοκεῖ.
266.1 ΧΟΡΟΥ
266.2 (ΜΟΣΧΙΩΝ)
267.1 Δᾶε, πολλάκις μὲν ἤδη πρός μ’ ἀπήγγελκας λόγους
267.2 οὐκ ἀληθεῖς, ἀλλ’ ἀλαζὼν καὶ θεοῖσιν ἐχθρὸς εἶ.
267.3 εἰ δὲ καὶ νυνὶ πλανᾶις με—
269 (ΔΑΟΣ) κρέμασον εὐθύς, εἰ [πλανῶ.
270 (Μο) ἥμερον λέγεις τι.
270.1 (Δα) χρῆσαι πολεμίου τοίνυν [
270.2 ἂν δ’ ἀληθὲς ἦι καταλάβηις τ’ ἔνδον αὐτὴν ἐνθάδε,
270.3 ὁ δεδιωικηκ[ὼς ἐγώ] σοι ταῦτα πάντα, Μοσχίων,
270.4 καὶ πεπεικὼς τὴν μὲν ἐλθεῖν δεῦρ’ ἀναλώσας λόγους
270.5 μυρίους, τὴν σὴν δὲ μητέρ’ [ὑποδέχ]εσθαι καὶ ποεῖν
275 πάνθ’ ἅ σοι δοκεῖ, τίς ἔσομαι;
275.1 (Μο) τίς βίος μάλισθ’, [ὅρα,
275.2 Δᾶε, τῶν πάντων ἀρέσκει; [τοῦ]τ’ ἐπιβλέψ[ας λέγε.
275.3 (Δα) ἆρα τὸ μυλωθρεῖν κράτιστον;
277.1 (Μο) εἰς μυλῶνα [
277.2 οὑτοσὶ φερόμενος ἡμῖν.
278.1 (Δα) μηδαμ[ῶς] τέχν[ην λέγε.
278.2 (Μο) βούλομαι δὲ προστάτην σε πραγμάτων Ἑλληνικ[ῶν
280 καὶ διοικητὴν στρατοπέδων—
280.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

(Δα) [...]ελε[ ο[ἵ μ’] ἀποσφάττουσιν εὐθύς, ἂ[ν τύ]χηι, κλέψα[ντά τι.

280.2 (Μο) ἀλλὰ .......... ἐκδότης εκδοσει[..]ει λαβο[

280.3 ἑπτὰ [......]. τάλαντα.

283.1 (Δα) παντοπωλεῖν [βούλομαι,

283.2 Μοσχίων, ἢ [τυρ]οπ[ω]λεῖν ἐν ἀγορᾶι καθήμε[νος.

285.1 ὀμνύω [] καθεσ[τάναι.

285.2 κατ’ ἐμὲ ταῦτ’, ἐ[μοί τ’ ἀρέσκει] μᾶλλον.

286.1 (Μο) αν[

286.2 [..]δεκ[.]ι...ηγενοιθ’ ὃ μελ[ιτόπ]ωλις εὐ[

286.3 γραῦς.

288.1 (Δα) τὸ γαστρίζεσθ’ ἀρέσκε[ι, ]γεγ[ονέναι δέ γ’ ἄξιος

288.2 φήμ’ ἐφ’ οἷς εἴρηκα τούτοις.

289 (Μο) μα[

290.1 ἦσθας· ἀλλὰ τυροπώλει καὶ ταλ[.]ι[

290.2 (Δα) ταῦτα μὲν δή, φασίν, εὔχθω· δ[

290.3 οἰκίαν ἄνοιγε τρόφιμε.

292.1 (Μο) δεῖ μ[

292.2 ἐ[μὲ δὲ] παραμυθεῖσθ’ [ἐκεί]ν[ην νῦν προσήκει καὶ γελᾶν

292.3 ἐπὶ θεοῖς ἐχθρῶι πτεροφόραι χιλιάρχωι.

294 (Δα) καὶ μάλα.

295.1 (Μο) εἰσιὼν δέ μοι σύ, Δᾶε, τῶν ὅλων κατάσκοπος

295.2 πραγμάτων γενοῦ, τί ποιεῖ, ποῦ ’στιν ἡ μήτηρ, ἐμὲ

295.3 εἰς τὸ προσδοκᾶν ἔχουσι πῶς· τὸ τοιουτὶ μέρος

295.4 οὐκ ἀκριβῶς δεῖ φράσαι σοι· κομψὸς εἶ.

298.1 (Δα) πορεύσομαι.

298.2 (Μο) περιπατῶν δὲ προσμενῶ σε, 〈Δᾶε〉, πρόσθε τῶν θυρῶν. ἀλλ’ ἔδειξεν μέν τι τοιοῦθ’ ὡς προσῆλθον ἑσπέρας·

298.3 προσδραμόντ’ οὐκ ἔφυγεν, ἀλλὰ περιβαλοῦς’ ἐ[πέσπα]σε

298.4 οὐκ ἀηδὴς ὡς ἔοικεν εἴμ’ ἰδεῖν οὐδ’ ἐντ[υχεῖν,

298.5 οἴομαι, μὰ τὴν Ἀθηνᾶν, ἀλλ’ ἑταίρ[αις

298.6 τὴν δ’ Ἀδράστειαν μάλιστα νῦν ἀρ[...προσκυν]ῶ.

305 (Δα) Μοσχίων, ἡ μὲν λέλουται καὶ κάθηται.

305.1 (Μο) φιλτάτη.

305.2 (Δα) ἡ δὲ μήτηρ σου διοικεῖ περιπατοῦς’ οὐκ οἶδ’ ὅ τι.

305.3 εὐτρεπὲς δ’ ἄριστόν ἐστιν, ἐκ δὲ τῶν ποουμένων

305.4 περιμένειν δοκοῦσί μοι σε.

308.1 (Μο) καὶ πάλαι [........] οὐκ

308.2 εἴμ’ ἀηδής. εἶπας αὐταῖς [συμπ]αρόντα μ’ ἐνθάδε;

310 (Δα) μὰ Δία.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

310 (Μο) νῦν τοίνυν λέγ’ ἐλθών.
310.1 (Δα) ὡς ὁρᾶις, ἀναστρέφω.
310.2 (Μο) ἡ μὲν αἰσχυνεῖτ’ ἐπειδὰν εἰσίωμεν δηλαδὴ
310.3 παρακαλύψ[εταί τ’, ἔθο]ς γὰρ τ[ο]ῦτ[ο]· τὴν δὲ μητέρα
310.4 εἰσιόντ’ εὐθὺς φιλῆσαι δεῖ μ’, ἀνακτήσασθ’ ὅλως,
310.5 εἰς τὸ κολακεύειν τραπέσθαι, ζῆν τε πρὸς ταύτην ἁπλῶς·
315.1 ὡς γὰρ οἰκείως κέχρηται τῶι παρόντι πράγματι.
315.2 ἀλλὰ τὴν θύραν ψοφεῖ τις ἐξιών. τί τοῦτο, παῖ;
315.3 ὡς ὀκνηρῶς μοι προσέρχει, Δᾶε.
317.1 (Δα) ναὶ μὰ τὸν Δία,
317.2 πάνυ γὰρ ἀτόπως. ὡς γὰρ ἐλθὼν εἶπα πρὸς τὴν μητέρα
317.3 ὅτι πάρει, “μηδὲν ἔτι τούτων”, φησ[ί, “πῶς δ’ ἀ]κήκοεν;
320.1 ἢ σὺ λελάληκας πρὸς αὐτόν, ὅτι φοβηθεῖς’ ἐνθάδε καταπέφευγ’ αὕτη [πρὸς ἡμᾶς; πάνυ] γε. μὴ ὥρας σύ γε”,
320.2 φής’, “ἴκοι’, ἀλλ’ [............]ν βάδιζε, παιδίον,
320.3 ἐκποδών[” .......]αλλ[.] πάντ’ [ἀν]ήρπαστ’ ἐκ μέσου.
320.4 οὐ σφό]δρ’ [ἤκ]ουσεν παρόντα ς’ ἡδέως.
324 (Μο) μαστιγία,
325 κατακέχρη]σαί μοι.
325 (Δα) γελοῖον· ἡ μὲν οὖν μήτηρ—
325.1 (Μο) τί φῄς;
325.2 [.......]κουσαν αὐτήν, ἢ τί πρᾶγμ’; οὐχ ἕνεκ’ ἐμοῦ;
325.3 [.......]ς πέπεικας ἐλθεῖν πρός μ’;
327.1 (Δα) ἐγὼ δ’ εἴρηκά σοι
327.2 ὅτι πέπει]κ’ ἐλθεῖν ἐκείνην; μὰ τὸν Ἀπόλλω ’γὼ μὲν οὔ.
327.3 [........ ψε]ῦδο[ς, τρ]όφ[ι]μέ μου, σοῦ καταψεύδεσθ[
330.1 [Μο] [...... οὐ τὴν ]μ[ητέρ’ αὐτὸ]ς ταῦτα συμπε[π]ε[ικ]έναι
330.2 ἀρτίως ἔφησθα, ταύτην ἐνθάδ’ ὑποδέξασθ’ ἐμοῦ
330.3 ἕνεκα;
332 (Δα) τοῦθ’, ὁρᾶις, ἔφην. ναί, μνημονεύω.
332.1 (Μο) καὶ δοκεῖν
332.2 ἕνεκ’ ἐμοῦ σοι τοῦτο πράττειν;
333.1 Δα οὐκ ἔχω τουτὶ φράσαι,
333.2 ἀλλ’ ἔγωγ’ ἔπειθον.
334 Μο εἶἑν· δεῦρο δὴ βάδιζε.
334 Δα ποῖ;
335 μὴ μακράν.
335 (Μο) εἴσει—
335.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

(Δα) τὸ δεῖνα, Μοσχίων· ἐγὼ τότε—
335.2 μικρὸν ἔτι μεῖνον.
336 (Μο) φλυαρεῖς πρός με.
336.1 (Δα) μὰ τὸν Ἀσκληπιόν,
336.2 οὐκ ἔγωγ’, ἐὰν ἀκούσῃς. τυχὸν ἴσως οὐ βούλεται,
336.3 μανθάνεις, ἐξ ἐπιδρομῆς ταῦθ’, ὡς ἔτυχεν, ἀλλ’ ἀξιοῖ
336.4 π[ρὶν τάδ’] εἰδέναι ς’, ἀκοῦσαι τὰ παρὰ σοῦ γε, νὴ Δία.
340.1 οὐ γὰρ ὡς αὐ]λ[ητρ]ὶς οὐδ’ ὡς πορνίδιον τρισάθλιον
340.2 ἦλθε.]
341 (Μο) νῦν δοκ]εῖς λέγειν μοι Δᾶέ τι πάλιν.
341.1 (Δα) δοκί[μασον·
341.2 οἶσθας] οἷ[όν ἐ]στιν, οἶμαι. καταλέλοιπεν οἰκίαν,
341.3 οὐ φλυαρ[ῶ, 〈τόν〉 τ’] ἐραστήν· εἰ σὺ τρεῖς ἢ τέτταρας
341.4 ἡμέρας βούλει, προσέξει σοί τις· ἀνεκοινοῦτό μοι
345 το]ῦτ’· ἀκοῦσαι γάρ σε δεῖ νῦν.
345.1 (Μο) ποῦ σε δήσας κατα[λίπω,
345.2 Δᾶε; περιπατεῖν ποεῖς με περίπατον πολύν τινα.
345.3 ἀρτίως μὲν οὐ[κ ἀλ]ηθές, νῦν δὲ λελάληκας πάλιν.
345.4 (Δα) οὐκ ἐᾶις φρονεῖ[ν μ’ ἀ]θορύβ[ως· μετα]βαλοῦ τρόπον τινὰ
345.5 κοσμίως τ’ εἴσω πάρελθε.
349 (Μο) σ[ὺ δ’ ἀποδ]ράσει;
349 (Δα) καὶ μάλα· ἐφόδι’ οὐχ ὁρᾶις μ’ ἔχοντα [ [Μο] εἰσιών 〈μοι〉 κἄ[ν] τι τούτων συνδιορθώσαις.
351.1 (Δα) ἑκ[ών.
351.2 (Μο) ὁμολογῶ νικᾶν σε.
352.1 (Δα) μικροῦ γ’, Ἡράκλεις, καὶ νῦ[ν δέει
352.2 αὖός εἰμ’· οὐκ ἔστι γὰρ ταῦθ’, ὡς τότ’ ᾤιμην, εὐκρι[νῆ.
352.3 (ΣΩΣΙΑΣ)
354 πάλιν πέπομφε τὴν χλαμύδα φέροντά με
355.1 καὶ τὴν σπάθην, ἵν’ ἴδω τί ποιεῖ καὶ λέγω
355.2 ἐλθών. ἀκαρές δέω δὲ φάσκειν καταλαβεῖν
355.3 τὸν μοιχὸν ἔνδον, ἵν’ ἀναπηδήσας τρέχῃι—
355.4 εἰ μή γε παντάπασιν αὐτὸν ἠλέουν.
355.5 κακοδαίμον’ οὕτω δεσπότην οὐδ’ ἐνύπνιον
360.1 ἰδὼν γὰρ οἶδ’. ὢ τῆς πικρᾶς ἐπιδημίας.
360.2 (Δα) ὁ ξένος ἀφῖκται. χαλεπὰ ταῦτα παντελῶς
360.3 τὰ πράγματ’ ἐστί, νὴ τὸν Ἀπόλλω, ταῦτά [γε.
360.4 καὶ τὸ κεφάλαιον οὐδέπω λογίζομαι,
360.5 τὸν δεσπότην, ἂν ἐξ ἀγροῦ θᾶττον π[άλιν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

365.1 ἔλθηι, ταραχὴν οἵαν ποήσει παραφ[ανείς.
365.2 Σω ὑμεῖς δ’ ἀφήκαθ’, ἱερόσυλα θηρία,
365.3 ἀφή]κατ’ ἔξω τῆς θύρας.
367.1 (Δα) ἀναστρέφει
367.2 ἄνθρωπος ὀργιζόμενος· [ὑπα]πο[στήσομαι.
367.3 (Σω) ἣ δ’ οἴχεθ’ ὡς τὸν γείτον’ εὐθὺς δηλαδὴ
370.1 τὸν μοιχόν, οἰμώζειν φράσας ἡμῖν μακρὰ
370.2 καὶ μεγάλα.
371.1 (Δα) μάντιν ὁ στρατιώτης [πε]ρι[άγει
371.2 τοῦτον· ἐπιτυγχάνει τι.
372.1 Σω κόψω τὴν θύραν.
372.2 (Δα) ἄνθρωπε κακόδαιμον, τί βούλει; ποῖ φέρει;
372.3 (Σω) ἐντεῦθεν εἶ;
374 (Δα) τυχόν. ἀλλὰ τί πολυπραγμονεῖς;
375.1 (Σω) ἀπονενόησθε, πρὸς θεῶν; ἐλευθέραν
375.2 ἔχειν γυναῖκα πρὸς βίαν τοῦ κυρίου
375.3 τολμᾶτε κατακλείσαντες;
377.1 Δα ὡς πο[νηρὸς εἶ
377.2 καὶ συκοφάντης, ὅσ[
377.3 (Σω) πότερα νομίζετ’ οὐκ ἔχειν ἡ[μᾶς χολὴν
380 οὐδ’ ἄνδρας εἶναι;
380.1 (Δα) ναὶ μὰ Δία, τε[τρω]βό[λους.
380.2 ὅταν δὲ τετραδράχμους τοιούτ[ους] λα[μβάνηι,
380.3 ἦ ῥαιδίως μαχούμεθ’ ὑμῖν.
382.1 (Σω) [Ἡράκλ]ε[ις,
382.2 πράγματος ἀσελγοῦς. ὁμολογεῖτε δ’, εἰπέ μοι,
382.3 ἔχειν;]
384 [Δα] ἄπ]ελθ’, ἄνθρωπε.
384 [Σω] [Ἱλ]αρίων—οἴχεται,
385.1 ὡς οὗτ]ος [ἔσται] μάρτυ[ς. ὁμο]λογεῖτ’ ἔχειν;
385.2 (Δα) ου. [ ]τεν[
386.1 [Σω] ὄ]ψομαί τινας
386.2 ὑμῶν [στένον]τας. πρὸς τίν’ οἴεσθ’, εἰπέ μοι,
386.3 παίζειν; τίς ὁ λῆρος; κατὰ κράτος τὸ δυστυχὲς
386.4 οἰκίδιον τοῦτ’ αὐτίκ’ ἐξαιρήσομεν.
390 ὅπλιζε τὸν μοιχόν.
390.1 (Δα) πονηρόν, ἄθλιε·
390.2 ὥσπερ παρ’ ἡμῖν οὖσαν ἐπιμένεις πάλαι.
390.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

(Σω) οἱ παῖδες οἱ τὰ πελτί’ οὗτοι πρὶν πτύσαι
390.4 διαρπάσονται πάντα, κἂν τετρωβόλους καλῇς.
394 (Δα) ἔπαιζον· σκατοφάγος γὰρ εἶ.
394 (Σω) πόλιν
395 οἰκοῦντες—
395 (Δα) ἀλλ’ οὐκ ἔχομεν.
395.1 (Σω) αἰβοῖ, λήψομαι
395.2 σάρισαν.
396.1 (Δα) ἄπαγ’ ἐς κόρακας· ὡς εἴσειμ’ ἐγὼ
396.2 ἕως ἔοικας ἀ[.....]τωι.
397.1 (Δω) Σωσία.
397.2 (Σω) σὺ μὲν εἰ πρόσει μοι, Δωρί, μέγα τί σοι κακὸν
397.3 δώσω· σὺ τούτων γέγονας αἰτιωτάτη. (Δω) οὕτως ὄναιο, λέγ’ ὅτι πρὸς γυναῖκά ποι
397.4 δείσασα καταπέφευγε.
401.1 (Σω) πρὸς γυναῖκά ποι
401.2 δείσασα;
402.1 (Δω) καὶ γὰρ οἴχεθ’ ὡς τὴν Μυρρίνην,
402.2 τὴν γείτον’, οὕτω μοι γένοιθ’ ἃ βούλομαι.
402.3 (Σω) ὁρᾶι]ς ἵν’ οἴχεθ’; οὗ τὸ μέλημ’ ἐστ’, ἐνθάδε.
405.1 (Δω) οὐ]δὲν ποεῖ νῦν ὧν σὺ βούλει, Σ[ωσία.
405.2 (Σω) ἄπ[αγ]ε σε[αυτή]ν, ἄπ[α]γ’ [....] ψευδῆλ[
406 (desunt uersus fere lx)
406 [ΧΟΡΟΥ]
467.1 (Σω) ἐκεῖθεν ἥκει χρήματ’ εἰληφώς, ἐμοὶ
467.2 πίστευε· προδίδωσίν σε καὶ τὸ στρατόπεδον.
467.3 (ΠΑΤΑΙΚΟΣ)
469 κάθευδ’ ἀπελθών, ὦ μακάριε, τὰς μάχας
470.1 ταύτας ἐάσας· οὐχ ὑγιαίνεις. σοὶ λαλῶ,
470.2 ἧττον μεθύεις γάρ.
471.1 (ΠΟΛΕΜΩΝ) ἧττον; ὃς πέπωκ’ ἴσως
471.2 κοτύλην, προειδὼς πάντα ταῦθ’ ὁ δυστυχὴς
471.3 τηρῶν τ’ ἐμαυτὸν εἰς τὸ μέλλον.
473.1 (Πα) εὖ λέγεις.
473.2 πείσθητί μοι.
474 Πο τί δ’ ἐστὶν ὃ κελεύεις ἐμοί;
475.1 (Πα) ὀρθῶς μ’ ἐρωτᾶις. νῦν ἐγὼ δὴ τἆλλ’ ἐρῶ.
475.2 (Σω) Ἁβρότονον, ἐπισήμηνον.
476.1 (Πα) εἴσω τουτονὶ
476.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πρῶτον ἀπόπεμψον τούς τε παῖδας οὓς ἄγει.
476.3 (Σω) κακῶς διοικεῖς. τὸν πόλεμον διαλύσεται,
476.4 ἐξὸν λαβεῖν κατὰ κράτος.
479 (Πο) οὑτοσί με γὰρ—
480.1 〈Σω〉 Πάταικος; ἐξόλλυσιν. —οὐκ ἔσθ’ ἡγεμών.
480.2 (Πα) πρὸς τῶν θεῶν, ἄνθρωπ’, ἄπελθε.
481.1 (Σω) ἀπέρχομαι. —
481.2 ᾤιμην σὲ ποιήσειν τι· καὶ γάρ, Ἁβρότονον,
481.3 ἔχεις τι πρὸς πολιορκίαν σὺ χρήσιμον
481.4 δύνασαί τ’ ἀναβαίνειν, περικαθῆσθαι. ποῖ στρέφει,
485.1 λαικάστρι’; ἠισχύνθης; μέλει τούτων τί σοι;
485.2 (Πα) εἰ μέν τι τοιοῦτ’ ἦν, Πολέμων, οἷόν φατε
485.3 ὑμεῖς τὸ γεγονός, καὶ γαμετὴν γυναῖκά σου—
485.4 (Πο) οἷον λέγεις, Πάταικε.
488.1 (Πα) διαφέρει δέ τι.
488.2 (Πο) ἐγὼ γαμετὴν νενόμικα ταύτην.
489 (Πα) μὴ βόα.
490 τίς δ’ ἔσθ’ ὁ δούς;
490 (Πο) ἐμοὶ τίς; αὐτή.
490.1 (Πα) πάνυ καλῶς.
490.2 ἤρεσκες αὐτῆι τυχὸν ἴσως, νῦν δ’ οὐκέτι·
490.3 ἀπελήλυθεν δ’ οὐ κατὰ τρόπον σου χρωμένου
490.4 αὐτῆι.
493.1 (Πο) τί φήις; οὐ κατὰ τρόπον; τουτί με τῶν
493.2 πάντων λελύπηκας μάλιστ’ εἰπών.
494 (Πα) ἐρᾶις·
495.1 τοῦτ’ οἶδ’ ἀκριβῶς· ὥσθ’ ὃ μὲν νυνὶ ποεῖς
495.2 ἀπόπληκτόν ἐστιν. ποῖ φέρει γάρ; ἢ τίνα
495.3 ἄξων; ἑαυτῆς ἐστ’ ἐκείνη κυρία.
495.4 λοιπὸν τὸ πείθειν τῶι κακῶς διακειμένωι
495.5 ἐρῶντί τ’ ἐστίν.
499.1 (Πο) ὁ δὲ διεφθαρκὼς ἐμοῦ ἀπόντος αὐτὴν οὐκ ἀδικεῖ με; (Πα) ὥστ’ ἐγκαλεῖν
499.2 ἀδικεῖ ς’ ἐκεῖνος, ἄν ποτ’ ἔλθηις εἰς λόγους.
499.3 εἰ δ’ ἐκβιάσει, δίκην ὀφλήσεις· οὐκ ἔχει
499.4 τιμωρίαν γὰρ τἀδίκημ’, ἔγκλημα δέ.
499.5 (Πο) οὐδ’ ἆρα νῦν;
504 (Πα) οὐδ’ ἆρα νῦν.
504 (Πο) οὐκ οἶδ’ ὅ τι
505.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λέγω, μὰ τὴν Δήμητρα, πλὴν ἀπάγξομαι.
505.2 Γλυκέρα με καταλέλοιπε, καταλέλοιπέ με
505.3 Γλυκέρα, Πάταικ’. ἀλλ’ εἴπερ οὕτω σοι δοκεῖ
505.4 πράττειν—συνήθης ἦσθα γὰρ καὶ πολλάκις
505.5 λελάληκας αὐτῆι πρότερον—ἐλθὼν διαλέγου,
510 πρέσβευσον, ἱκετεύω σε.
510 Πα τοῦτό μοι δοκεῖ, ὁρᾷς, ποεῖν.
511.1 Πο δύνασαι δὲ δήπουθεν λέγειν,
511.2 Πάταικε.
512 (Πα) μετρίως.
512.1 (Πο) ἀλλὰ μήν, Πάταικε, δεῖ.
512.2 αὕτη ’στιν ἡ σωτηρία τοῦ πράγματος.
512.3 ἐγὼ γὰρ εἴ τι πώποτ’ ἠδίκηχ’ ὅλως—
515.1 εἰ μὴ διατελῶ πάντα φιλοτιμούμενος—
515.2 τὸν κόσμον αὐτῆς εἰ θεωρήσαις—
516.1 (Πα) καλῶς
516.2 ἔχει.
517.1 (Πο) θεώρησον, Πάταικε, πρὸς θεῶν·
517.2 μᾶλλόν μ’ ἐλεήσεις.
518 (Πα) ὦ Πόσειδον.
518.1 [Πο] δεῦρ’ ἴθι.
518.2 ἐνδύμαθ’ οἶ’· οἵα δὲ φαίνεθ’ ἡνικ’ ἂν
520.1 λάβηι τι τούτων· οὐ γὰρ ἑοράκεις ἴσως.
520.2 Πα ἔγωγε.
521.1 (Πο) καὶ γὰρ τὸ μέγεθος δήπουθεν ἦν
521.2 ἄξιον ἰδεῖν. ἀλλὰ τί φέρω νῦν εἰς μέσον
521.3 τὸ μέγεθος, ἐμβρόντητος, ὑπὲρ ἄλλων λαλῶν;
521.4 (Πα) μὰ τὸν Δία.
524 (Πο) οὐ γάρ; ἀλλὰ δεῖ Πάταικέ σε
525 ἰδεῖν. βάδιζε δεῦρο.
525.1 (Πα) πάραγ’· εἰσέρχομαι.
525.2 (Μο) οὐκ εἰσφθερεῖσθε θᾶττον ὑμεῖς ἐκποδών;
525.3 λόγχας ἔχοντες ἐκπεπηδήκασί μοι.
525.4 οὐκ ἂν δύναιντο δ’ ἐξελεῖν νεοττιὰν
525.5 χελιδόνων· οἷοι γάρ εἰς’ οἱ βάσκανοι.
530.1 ἀλλὰ ξένους, φής’, εἶχον· εἰσὶ δ’ οἱ ξένοι
530.2 οἱ περιβόητοι Σωσίας εἷς οὑτοσί.
530.3 πολλῶν γεγονότων ἀθλίων κατὰ τὸν χρόνον
530.4

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὸν νῦν—φορὰ γὰρ γέγονε τούτου νῦν καλὴ
ἐν ἅπασι τοῖς Ἕλλησι δι’ ὅ τι δή ποτε—
οὐδένα νομίζω τῶν τοσούτων ἄθλιον
ἄνθρωπον οὕτως ὡς ἐμαυτὸν ζῆν ἐγώ.
ὡς γὰρ τάχιστ’ εἰσῆλθον, οὐδὲν ὧν ἀεὶ
εἴωθ’ ἐποίουν οὐδὲ πρὸς τὴν μητέρα
εἰσῆλθον, οὐ τῶν ἔνδον ἐκάλες’ οὐδένα
πρὸς ἐμαυτόν. εἰς οἶκόν τιν’ ἐλθὼν ἐκποδὼν
ἐνταῦθα κατεκείμην συνεστηκὼς πάνυ,
τὸν Δᾶον εἰσπέμπω δὲ δηλώσονθ’ ὅτι
ἥκω, τοσοῦτον αὐτό, πρὸς τὴν μητέρα.
οὗτος μὲν οὖν μικρόν τι φροντίσας ἐμοῦ
ἄριστον αὐτοῖς καταλαβὼν προκείμενον
ἐγέμιζεν αὑτόν· ἐν δὲ τούτωι τῶι χρόνωι
κατακείμενος πρὸς ἐμαυτὸν ἔλεγον· “αὐτίκα
πρόσεισιν ἡ μήτηρ ἀπαγγελοῦσά μοι
παρὰ τῆς ἐρωμένης ἐφ’ οἷς ἄν φησί μοι εἰς ταὐτὸν ἐλθεῖν.” αὐτὸς ἐμελέτων λόγον (desunt uersus fere clx) [ΧΟΡΟΥ]
[ΓΛΥΚΕΡΑ]
[ τὴν μ]ητέρ’ αὐτοῦ, φί[λτ]ατε,
[ κα]ταφυγοῦς’ ἐδυνάμην; οὐ σκοπεῖς;
ἵνα με λάβηι γυναῖκα; κατ’ ἐμὲ γὰρ πάνυ
γέγον’ οὗτος. ἀλλ’ οὐ τοῦθ’, ἑταίραν δ’ ἵνα μ’ ἔχηι;
εἶτ’ οὐ λαθεῖν τούτους ἂν ἔσπευδον, τάλαν,
αὐτός τ’ ἐκεῖνος; ἀλλ’ ἰταμῶς εἰς ταὐτό με
τῶι πατρὶ κατέστης’, εἱλόμην δ’ οὕτως ἐγὼ
ἀφρόνως ἔχειν ἔχθραν τε πρά[ττειν
ὑμῖν θ’ ὑπόνοιαν καταλιπεῖν [
ἣν ἐξαλείψετ’ οὐκέτ’; οὐδ’ αἰσχ[ύνομαι,
Πάταικε; καὶ σὺ ταῦτα συμπεπεισμένος
ἦλθες, τοιαύτην θ’ ὑπέλαβές [με γεγονέναι;
(Πα) μὴ δὴ γένοιτ’, ὦ Ζεῦ πολυ[τίμηθ’· ἃ δὲ λέγεις
δείξαις ἀληθῶς ὄντ’· ἐγὼ [
(Γλ) ἀλλ’ ἄπιθι μηδὲν ἧττον. [εἰς ἑτέραν τινὰ
ὑβριζέτω τὸ λοιπόν.
(Πα) οὐχ [
γέγονε τὸ δεινόν.
(Γλ) ἀνόσι[ον
ο[ , τά]λαν, θεράπαιναν [

725.2 (desunt uersus fere xvi)
742.1 [Γλ] ἐγ[ ]λαμβα[ν
742.2 τοὐμοῦ πατρὸς καὶ μητρός, εἰ[
742.3 ἀεὶ παρ’ ἐμαυτῆι ταῦτα καὶ τηρ[εῖν.
744 [Πα] τί οὖν
745 βούλει;
745 (Γλ) κομίσασθαι ταῦτα.
745.1 [Πα] [ἀπέγν]ωκας σ[ὺ γὰρ
745.2 κομιδῆι τὸν ἄνθρωπον; τί βούλει;
746.1 [Γλ] φίλτατε,
746.2 διὰ σοῦ γενέσθω τοῦτό μοι.
747.1 (Πα) πραχθήσεται
747.2 τοῦτο 〈τὸ〉 γελοῖον. ἀλλ’ ὑπὲρ πάντων ἐχρῆν
747.3 ὁρᾶ]ν σε.
749 (Γλ) ἐγὦιδα τἄμ’ ἄριστα.
749.1 (Πα) οὕτως ἔχεις; τίς τῶν θ]εραπαινῶν οἶδε ταῦθ’ ὅπου ’στί σοι;
749.2 (Γλ) ἡ Δωρὶς οἶδε.
751.1 (Πα) καλεσάτω τὴν Δωρίδα
751.2 ἔξω τις. ἀλλ’ ὅμως, Γλυκέρα, πρὸς τῶν θεῶν
751.3 [ ]ε[σ]τ’, ἐφ’ οἷς λόγοις νυνὶ λέγω
751.4 [...]
754 Δω ὦ κεκτημένη.
755 (Γλ) τί ἐστίν;]
755 (Δω) οἷον τὸ κακόν.
755.1 (Γλ) ἐξένεγκέ μοι
755.2 τὴν κιστίδ’] ἔξω, Δωρί, τὴν τὰ ποικίλα
755.3 ἔχουσαν· οἶσθα ν]ὴ Δί’· ἣν δέδωκά σοι τηρεῖν· τί κ]λάεις, ἀθλία;
758.1 (Πα) πέπονθά τι,
758.2 νὴ τὸν Δία τὸν Σωτῆρα, [.........π]άνυ
760.1 [ ] πρᾶγμ’ οὐδέν. ηκ[
760.2 (desunt uersus fere vii)
760.3 ὃν] καὶ τότ’ εἶδον. οὐ παρ’ αὐτὸν οὑτοσὶ
760.4 τράγος τις ἢ βοῦς ἢ τοιουτὶ θηρίον
760.5 ἕστηκεν;
770.1 (Γλ) ἔλαφος, φίλτατ’, ἐστίν, οὐ τράγος.
770.2 (Πα) κέρα]τ’ ἔχει, τοῦτ’ οἶδα. καὶ τουτὶ τρίτον
770.3 πετ]εινὸς ἵππος. τῆς γυναικὸς τῆς ἐμῆς
770.4 ποικίλ]ματ’ ἐστὶ ταῦτα καὶ μάλ’ ἀθλίας.
770.5

Eulogikon public reading copy · View original HTML at eulogikon.org

(Μο) οὐ τῶν] ἀδυνάτων ἐστί, τουτί μοι δοκεῖ
σκοποῦν]τι, τὴν ἐμὴν τεκοῦσαν μητέρα
ἅμ’ ἐμοὶ προ]έσθαι θυγατέρ’ αὐτῆι γενομένην·
εἰ δὲ γεγένητ]αι τοῦτ’, ἀδελφὴ δ’ ἔστ’ ἐμὴ
αὕτη, κάκιστ’] ἔφθαρμ’ ὁ δυστυχὴς ἐγώ.
(Πα) ὦ Ζεῦ, τίν’ ἤδη τἀπίλοιπα τῶν ἐμῶν;
(Γλ) πέραι]ν’ ὃ βούλει τοῦτο πυνθάνου τ’ ἐμοῦ.
(Πα) πόθεν λαβοῦσα ταῦτα κέκτησαι φράσον.
(Γλ) ἐν τοῖσδ’ ἀνηιρέθην ποτ’ οὖσα παιδίον.
(Μο) ἐπάναγε σαυτὸν μικρόν· ὡς ῥοθ[
ἥκω τύχης εἰς καιρὸν οἰκείας [ἐγώ.
(Πα) μόνη δ’ ἔκεισο; τοῦτο γὰρ σήμαινέ μοι.
(Γλ) οὐ δῆτ’, ἀδελφὸν δ’ ἐξέθηκε κἀμέ τις.
(Μο) τουτὶ μὲν ἕν μοι τῶν [ἐμ]οὶ ζητουμένων.
(Πα) πῶς οὖν ἐχωρίσθητ’ ἀπ’ ἀλλήλων δίχα;
(Γλ) ἔχοιμ’ ἂν εἰπεῖν πάντ’ ἀκηκουῖά σοι·
τἀμὰ δέ μ’ ἐρώτα, ῥητὰ γὰρ ταῦτ’ ἐστί μοι·
ἐκεῖνα δ’ αὐτῆι μὴ φράσειν ὀμώμοκα.
(Μο) καὶ τοῦτό μοι σύσσημον εἴρηκεν σαφές·
ὀμώμοκεν τῆι μητρί. ποῦ πότ’ εἰμι γῆς;
(Πα) ὁ δὴ λαβών σε καὶ τρέφων τίς ἦν ποτε;
(Γλ) γυνή μ’ ἔθρε[ψεν, ἥ] τότ’ εἶδε κειμένην.
(Πα) τοῦ δὴ τόπου τί μνημόνευμά σοι λέγει;
(Γλ) κρήνην τιν’ ε[ἶπε κ]αὶ τόπον 〈γ’〉 ὑπόσκιον.
(Πα) τὸν αὐτὸν ὅνπερ χὠ τιθεὶς εἴρηκέ μοι.
(Γλ) τίς δ’ οὗτός ἐστιν; εἰ θέμις κἀμοὶ φράσον. (Πα) ὁ μὲν τιθεὶς παῖς, ὁ δὲ τρέφειν ὀκνῶν ἐγώ.
(Γλ) σὺ δ’ ἐξέθηκας ὢν πατήρ; τίνος χάριν;
(Πα) πόλλ’ ἐστὶν ἔργ’ ἄπιστα, παιδίον, τύχης.
ἡ μὲν τεκοῦς’ ὑμᾶς γὰρ ἐκλείπει βίον
εὐθύς, μιᾶι δ’ ἔμπροσθεν ἡμέραι, τέκνο[ν—
(Γλ) τί γίνεται πόθ’; ὡς τρέμω τάλαιν’ [ἐγώ.
(Πα) πένης ἐγενόμην βίον ἔχειν [εἰθισμένος.
(Γλ) ἐν ἡμέραι; πῶς; ὦ θεοί, δεινοῦ πό[τμου.
(Πα) ἤκουσα τὴν ναῦν, ἣ παρεῖχ’ ἡμῖν τροφ[ήν,
ἄγρ]ιον καλύψαι πέλαγος Αἰγαίας ἁλός.
(Γλ) τάλαιν’ ἔγωγε τῆς τύχης.
(Πα) ἐφόλκια
ἡγησάμην δὴ πτωχὸν ὄντα παιδία τρέφειν ἀβούλου παντελῶς ἀνδρὸς τρόπον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

[ ]ατων πάντων τέκ[ν
810.4 (?) τὸ ποῖ[ον;
814 (Γλ) ] μηνυθήσεται.
815.1 ἦν καὶ δέραια καὶ βραχύς τις [δι]άλιθ[ος
815.2 κόσμος προσὼν γνώρισμα τοῖς [ἐκκει]μένοις.
815.3 (Πα) ἐκεῖνον ἀναθεώμ[εθα.
817.1 (Γλ) ἀλλ’ οὐκ] ἔ[στ’] ἔτι.
817.2 (?) τί[] δηλαδή.
817.3 (Μο) ἀλ]λ’ ἐ[στὶν] οὗτ[ος, ὡς ἔοιχ’, οὑ]μὸς πατήρ.
820 (Πα) ἔχοις ἂν εἰπεῖν;
820.1 (Γλ) [πορφυρ]ᾶ ζώνη τις ἦν.
820.2 (Πα) ἦν γάρ.
821.1 (Γλ) χορός τε παρθένων ἐνταῦθά τις.
821.2 (Μο) οὔκουν συνῆκας;
822.1 (Γλ) δ[ιαφαν]ές τε χλ[ανί]διον
822.2 χρυσῆ τε μίτρα. πάντα [καθ’ ἓ]ν εἴρηκά σ[ο]ι.
822.3 (Πα) οὐκέτι καθέξω. φιλτάτ[η, χαῖρε].
824 Μο εἰ δ’ ἐγὼ
825.1 [ ]ι τι προσέχεσθεμ[
825.2 πάρειμι τοῦτον πά[ ]α[.] ἐγώ.
825.3 (?Γλ) ὦ θεοί, τίς ἐστιν οὗτος;
827 (Μο) ὅσ[τις εἴ]μ’;
827 (desunt uersus amplius c minus cc)
827 [ΧΟΡΟΥ]
976 (Πο) ἵν’ ἐμαυτὸν ἀποπνίξαιμι.
976.1 (Δω) μὴ δὴ [
976.2 (Πο) ἀλλὰ τί ποήσω, Δωρί; πῶς βιώσομαι
976.3 ὁ τρισκακοδαίμων χωρὶς ὣ[ν
976.4 (Δω) ἄπεισιν ὡς σέ.
979 (Πο) πρὸς θεῶν οι[
980.1 (Δω) ἐὰν προθυμηθῇς ἀκάκως [
980.2 (Πο) οὐκ ἐνλίποιμ’ ἂν οὐθέν. εὖ τοῦ[τ’
980.3 ὑπέρευ λέγεις. βάδιζ’· ἐγώ ς’ ἐλευθέραν
980.4 αὔριον ἀφήσω, Δωρί. ἀλλ’ ὃ δε[ῖ λέγειν
980.5 ἄκουσον. εἰσελήλυθ’. οἴμοι [
985.1 ὡς κατὰ κράτος μ’ εἴληφας. ἐ[φιλ
985.2 ἀδελφόν, οὐχὶ μοιχόν· ὁ δ’ ἀλάστωρ ἐγὼ
985.3 καὶ ζηλότυπος ἄνθρωπος α[
985.4

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εὐθὺς ἐπαρώινουν. τοιγαροῦ[ν
985.5 καλῶς ποῶν. τί ἐστι, Δωρὶ φιλτάτη;
990 (Δω) ἀγαθά· πορεύσεθ’ ὡς σέ.
990.1 (Πο) κατεγέλ[α δ’ ἐμοῦ;
990.2 (Δω) μὰ τὴν Ἀφροδίτην, ἀλλ’ ἐνεδύετ[ο στολήν·
990.3 ὁ πατὴρ ἐπεξ[ητ]αζ’. ἐχρῆν σε νῦν τα[χύ εὐαγγέλια τῶν γεγονότων ποθ[
990.4 θύειν] ἐκείνης εὐτυχηκυίας [
995.1 (Πο) νὴ τὸν Δί’, ὀρθῶς γὰρ λέγεις. ὁ δ’ [
995.2 μάγειρος ἔνδον ἐστί· τὴν ὗν θυέτω.
995.3 Δω κανοῦν δὲ ποῦ καὶ τἆλλ’ ἃ δεῖ;
997.1 (Πο) κα[νοῦν
997.2 ὕστερον ἐνάρξετ’, ἀλλὰ ταύτην σφαττέτω·
997.3 μᾶλλον δὲ κἀγώ. στέφανον ἀπὸ βω[μοῦ ἀφελὼν ἐπιθέσθαι βούλομαι. (Δω) πιθανώτερος
997.4 πολλῶι φανεῖ γοῦν.
1001.1 (Πο) ἄγετε [...]ξ[
1001.2 (Δω) καὶ μὴν ἔμελλεν ἐξιέναι δ[
1001.3 (Πο) αὐτός· τί γὰρ πάθηι τις;
1003.1 (Δω) ὦ τά[λαν
1003.2 ἔ...ν κακὸν τοσο[ῦτο]ν ἦν θύραν [ψοφεῖν.
1005.1 εἴσειμι καὐτὴ συμποήσους’ [
1005.2 (Πα) πάνυ σοῦ φιλῶ τὸ “νῦν διαλλαχθήσομαι”·
1005.3 ὅτ’ εὐτύχηκας, τότε δέχεσθαι τὴν δίκην
1005.4 τεκμήριον τοῦτ’ ἐστὶν Ἕλληνος τρόπου.
1005.5 ἀλλ’ ἐκκαλείτω τις δ[ραμὼ]ν αὐ[τὸν ταχύ.
1010.1 Πο ἐ[ξέρχομ’· ἀ]λλ’ ἔθυον ὑπὲρ εὐ[πραξίας
1010.2 Γλυκέραν] ἀνευρηκυῖαν οὓς [
1010.3 πυθόμενος.
1012.1 Πα ὀρθῶς γὰρ λέγεις α[
1012.2 μέλλω λέγειν ἄκουε· ταύτην γνησίων
1012.3 παίδων ἐπ’ ἀρότωι σοι δίδωμι.
1014 (Πο) λαμβάνω—
1015 (Πα) καὶ προῖκα τρία τάλαντα.
1015.1 (Πο) καὶ καλῶ[ς ποεῖς.
1015.2 (Πα) τὸ λοιπὸν ἐπιλάθου στρατιώτης [ὤν, ἵνα
1015.3 προπετὲς ποήσῃς μηδὲ ἓν [
1015.4 Πο Ἄπολλον, ὃς καὶ νῦν ἀπόλωλα πα[ρ’ ὀλίγον,
1015.5 πάλιν τι πράξω προπετές; οὐδὲ μ[έμψομαι
1020.1 Γλυκέραι. διαλλάγηθι, φιλτάτη, μόνον.
1020.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

(Πα) νῦν μὲν γὰρ ἡμῖν γέγονεν ἀρχὴ [πραγμάτων
1020.3 ἀγαθῶν τὸ σὸν πάροινον.
1022.1 (Πο) ὀρθῶ[ς γὰρ λέγεις.
1022.2 (Πα) διὰ τοῦτο συγγνώμης τετύχηκα[ς
1022.3 (Πο) σύνθυε δή, Πάταικε.
1024 (Πα) ἑτέρους ζητητέον
1025.1 ἐστὶν γάμους μοι· τῶι γὰρ ὑῶι λαμβάνω
1025.2 τὴν τοῦ Φιλίνου θυγατέρ'· ὦ Γῆ[ ...

Eulogikon public reading copy · View original HTML at eulogikon.org